ἤγγισαν Αζώτου, ἔδειξαν αὐτῷ τὸ ἱερὸν Δαγων ἐμπεπυρισμένον
καὶ Ἄζωτον καὶ τὰ περιπόλια αὐτῆς καθῃρημένα καὶ τὰ σώματα
ἐρριμμένα καὶ τοὺς ἐμπεπυρισμένους, οὓς ἐνεπύρισεν ἐν τῷ πο-
5 λέμῳ· ἐποίησαν γὰρ θιμωνιὰς αὐτῶν ἐν τῇ ὁδῷ αὐτοῦ. 5καὶ δι-
ηγήσαντο τῷ βασιλεῖ ἃ ἐποίησεν Ιωναθαν εἰς τὸ ψογίσαι αὐτόν·
6 καὶ ἐσίγησεν ὁ βασιλεύς. 6καὶ συνήντησεν Ιωναθαν τῷ βασιλεῖ
εἰς Ιοππην μετὰ δόξης, καὶ ἠσπάσαντο ἀλλήλους καὶ ἐκοιμήθησαν
7 ἐκεῖ. 7καὶ ἐπορεύθη Ιωναθαν μετὰ τοῦ βασιλέως ἕως τοῦ ποταμοῦ
8 τοῦ καλουμένου Ἐλευθέρου καὶ ἐπέστρεψεν εἰς Ιερουσαλημ. 8ὁ δὲ
βασιλεὺς Πτολεμαῖος ἐκυρίευσεν τῶν πόλεων τῆς παραλίας ἕως
Σελευκείας τῆς παραθαλασσίας καὶ διελογίζετο περὶ Ἀλεξάνδρου
9 λογισμοὺς πονηρούς. 9καὶ ἀπέστειλεν πρέσβεις πρὸς Δημήτριον
τὸν βασιλέα λέγων Δεῦρο συνθώμεθα πρὸς ἑαυτοὺς διαθήκην, καὶ
δώσω σοι τὴν θυγατέρα μου, ἣν εἶχεν Ἀλέξανδρος, καὶ βασιλεύ-
10 σεις τῆς βασιλείας τοῦ πατρός σου· 10μεταμεμέλημαι γὰρ δοὺς
11 αὐτῷ τὴν θυγατέρα μου, ἐζήτησεν γὰρ ἀποκτεῖναί με. 11καὶ ἐψό-
γισεν αὐτὸν χάριν τοῦ ἐπιθυμῆσαι αὐτὸν τῆς βασιλείας αὐτοῦ·
12 12καὶ ἀφελόμενος αὐτοῦ τὴν θυγατέρα ἔδωκεν αὐτὴν τῷ Δημητρίῳ
13 καὶ ἠλλοιώθη τῷ Ἀλεξάνδρῳ, καὶ ἐφάνη ἡ ἔχθρα αὐτῶν. 13καὶ
εἰσῆλθεν Πτολεμαῖος εἰς Ἀντιόχειαν καὶ περιέθετο τὸ διάδημα
τῆς Ἀσίας· καὶ περιέθετο δύο διαδήματα περὶ τὴν κεφαλὴν αὐτοῦ,
14 τὸ τῆς Αἰγύπτου καὶ Ἀσίας. 14Ἀλέξανδρος δὲ ὁ βασιλεὺς ἦν ἐν
Κιλικίᾳ κατὰ τοὺς καιροὺς ἐκείνους, ὅτι ἀπεστάτουν οἱ ἀπὸ τῶν
15 τόπων ἐκείνων. 15καὶ ἤκουσεν Ἀλέξανδρος καὶ ἦλθεν ἐπ' αὐτὸν ἐν
πολέμῳ. καὶ ἐξήγαγεν Πτολεμαῖος καὶ ἀπήντησεν αὐτῷ ἐν χειρὶ
16 ἰσχυρᾷ καὶ ἐτροπώσατο αὐτόν· 16καὶ ἔφυγεν Ἀλέξανδρος εἰς τὴν
Ἀραβίαν τοῦ σκεπασθῆναι αὐτὸν ἐκεῖ, ὁ δὲ βασιλεὺς Πτολεμαῖος
17 ὑψώθη. 17καὶ ἀφεῖλεν Ζαβδιηλ ὁ Ἄραψ τὴν κεφαλὴν Ἀλεξάνδρου
18 καὶ ἀπέστειλεν τῷ Πτολεμαίῳ. 18καὶ ὁ βασιλεὺς Πτολεμαῖος ἀπ-
έθανεν ἐν τῇ ἡμέρᾳ τῇ τρίτῃ, καὶ οἱ ὄντες ἐν τοῖς ὀχυρώμασιν αὐ-
19 τοῦ ἀπώλοντο ὑπὸ τῶν ἐν τοῖς ὀχυρώμασιν. 19καὶ ἐβασίλευσεν
Δημήτριος ἔτους ἑβδόμου καὶ ἑξηκοστοῦ καὶ ἑκατοστοῦ.
20 20Ἐν ταῖς ἡμέραις ἐκείναις συνήγαγεν Ιωναθαν τοὺς ἐκ τῆς Ιου-

4 ηγγ(ε)ισαν Spau. La] -σεν uel sim. rel. | τα $2^0$ > S† | ους > A*†: post -ους || 5 ψογισαι] ψεξαι S†: cf. 11 || 7 μετα του] μετ αυτου A† || 8 ο δε βασ. πτολ.] ο δε πτολ. ο βασ. Spau. | παραλιας] -λιου S† || 9 τον > A† | ειχεν S*VLa†] εχει rel. | και ult. > S*† | της βασιλειας] την -αν Spau. || 11 εψογισεν] εψεξεν S*†: cf. 5 || 12 τω $1^0$ > S† | ηλλοιωθη] εδηλωθη S† | τω αλεξανδρω SV†] το προσωπον αλεξανδρου A(†) | η > A || 13 εξηλθεν S*† | αιγυπτου .. ασιας $2^0$ SVLa†] tr. rel. | ασιας $2^0$] pr. το της V(†) || 14 εν κιλικια] εις -κιαν A† || 15 ηλθεν] -θον S*† | εν $1^0$ S*A La†] > rel.: cf. 5 67 | πτολ.] + την δυναμιν Sc*L* || 16 αυτον > S*† || 18 ο > S*† | εν $1^0$ > S